totum verò vna quædam species est, procuratio scilicet rerum bellicarum. & erga huiusmodi magistratum, hoc modo se habet. Cùm verò quidam magistratuum, & si non omnes, pertractent multa negociorum publicorum, necesse est esse alium magistratum, qui rationes repetat atque corrigat, ipse verò nihil tractet. vocant verò hos alij correctores, alij rationales, alij scrutatores, alij procuratores. B Præter hos verò omnes magistratus vnus est maximè principalissimus omnium. idem enim plerunque habet finem & introductionem, qui præsidet multitudini, vbi populus dominatur. Oportet autem id quod cogit, summam habere in republica autoritatem. appellant verò quibusdam in locis, Pręconsultores ex eo, quia ante deliberant: vbi verò multitudo est consilium magis. Ciuitatum igitur magistratus ferè tot aliqui sunt. Alia species C curationis est circa rem diuinam, ceu sacerdotes, & æditui circa templa: vt conseruentur quæ sunt, & erigantur ruinosa ædificia, & cætera omnia quę pertinent ad diuinum cultum. Euenit autem alicubi curam hanc esse vnam, vt in paruis ciuitatibus alibi verò plures separatas à sacerdotio, vt sacrificuli, ac æditui, & custodes sacrarum pecuniarum. Huic consequens D est illa, quæ circa sacrificia publica, quotcunque sacerdotibus lex non committit, sed ex publico fiunt. vocant autem eos qui illis præsunt, alij Reges sacrorum, alij Pontifices maximos. Necessaria ergo officia sunt circa hæc, vt illa repetamus, circa rem diuinam, circa rem bellicā, circa reditus publicos & impensas, circa forum, circa vrbem & portus & regionem: insuper circa iudicia, & contractus, postulatio- E nes, & executiones, & custodias, & super rationibus, & disquisitionibus, & super correctionibus eorum quæ quis gesserit in magistratu, & postremo circa consilia rerum communium. Propria autem earum ciuitatum quæ magis pacatæ atque tranquillæ sunt, curam facere de mulierum disciplina, de legibus seruandis, de disciplina iuuentutis, de gymnasiorum gubernatione: præterea de ludis gymnasticis F ac musicis, & si qua alia huiuscemodi spectacula continget fieri. Horum verò quædam manifestæ sunt non popularia, veluti disciplina mulierū & puerorū.

τὸ δὲ πᾶν ἕν τι τούτων ἐστὶν εἶδος ἐπιμελείας πολεμικῶν. περὶ μὲν οὖν ταύτην τὴν ἀρχὴν ἔχει τὸν τρόπον τοῦτον. ἐπεὶ δὲ ἔνιαι τῶν ἀρχῶν, εἰ καὶ μὴ πᾶσαι, διαχειρίζουσι πολλὰ τῶν κοινῶν, ἀναγκαῖον ἑτέραν εἶναι τὴν ληψομένην λογισμὸν, καὶ προσευθύνουσαν, αὐτὴν μηδὲν διαχειρίζουσαν ἕτερον. καλοῦσι δὲ τούτους, οἱ μὲν εὐθύνους, οἱ δὲ λογιστὰς, οἱ δὲ ἐξεταστὰς, οἱ δὲ συνηγόρους. παρὰ πάσας δὲ B ταύτας τὰς ἀρχὰς ἡ μάλιστα κυρία πάντων ἐστίν. ἡ γὰρ αὐτὴ πολλάκις ἔχει τὸ τέλος καὶ τὴν εἰσφορὰν ἢ προκάθηται τοῦ πλήθους, ὅπου κύριός ἐστιν ὁ δῆμος· δεῖ γὰρ εἶναι τὸ συνάγον τὸ κύριον τῆς πολιτείας. καλεῖται δὲ, ἔνθα μὴ πρόβουλοι, διὰ τὸ προβουλεύειν. ὅπου δὲ τὸ πλῆθός ἐστι, βουλὴ μᾶλλον. αἱ μὲν οὖν πολιτικαὶ τῶν ἀρχῶν. σχεδὸν τοσαῦταί C τινές εἰσιν. ἄλλο δ' εἶδος ἐπιμελείας ἡ περὶ τοὺς θεοὺς οἷον, ἱερεῖς τε καὶ ἐπιμεληταὶ τῶν περὶ τὰ ἱερὰ τοῦ σώζεσθαι τὰ ὑπάρχοντα, καὶ ἀνορθοῦσθαι τὰ πίπτοντα τῶν οἰκοδομημάτων, καὶ τῶν ἄλλων ὅσα τέτακται πρὸς τοὺς θεούς. συμβαίνει δὲ τὴν ἐπιμέλειαν ταύτην ἐνιαχοῦ μὲν εἶναι μίαν· οἷον ἐν ταῖς μικραῖς πόλεσιν· ἐνιαχοῦ δὲ πολλὰς καὶ κεχωρισμένας D τῆς ἱερωσύνης οἷον, ἱεροποιοὺς, καὶ ναοφύλακας, καὶ ταμίας τῶν ἱερῶν χρημάτων. ἐχομένη δὲ ταύτης ἡ πρὸς θυσίας ἀφωρισμένη τὰς κοινὰς πάσας, ὅσας μὴ τοῖς ἱερεῦσιν ἀποδίδωσιν ὁ νόμος, ἀλλ' ἀπὸ τῆς κοινῆς ἑστίας ἔχουσι τὴν τιμήν. καλοῦσι δ' οἱ μὲν ἄρχοντας τούτους, οἱ δὲ βασιλεῖς, οἱ δὲ πρυτάνεις. αἱ μὲν οὖν ἀναγκαῖαι E ἐπιμέλειαί εἰσι περὶ τούτων, ὡς εἰπεῖν συγκεφαλαιωσαμένοις, περί τε τὰ δαιμόνια, καὶ τὰ πολεμικὰ, καὶ περὶ τὰς προσόδους, καὶ περὶ τὰ ἀναλισκόμενα, καὶ περὶ ἀγορὰν, καὶ περὶ τὸ ἄστυ καὶ λιμένας, καὶ τὴν χώραν· ἔτι τὰ περὶ τὰ δικαστήρια, καὶ συναλλαγμάτων ἀναγραφὰς, καὶ πράξεις, καὶ φυλακὰς, καὶ ἐπὶ λογισμούς τε ἐξετάσεις, καὶ πρὸς εὐθύνας τῶν ἀρ- F χόντων· καὶ τέλος αἱ περὶ τὸ βουλευόμενόν εἰσι τῶν κοινῶν. ἴδια δὲ ταῖς σχολαστικωτέραις, καὶ μᾶλλον εὐημερούσαις πόλεσιν, ἔτι δὲ φροντιζούσαις εὐκοσμίας, γυναικονομία, νομοφυλακία, παιδονομία, γυμνασιαρχία· πρὸς δὲ τούτοις, περὶ ἀγῶνας ἐπιμέλεια γυμνικοὺς καὶ Διονυσιακοὺς, κἂν εἴ τινας ἑτέρας συμβαίνῃ τοιαύτας γίνεσθαι θεωρίας. τούτων δ' ἔνιαι φανερῶς εἰσιν οὐ δημοτικαὶ τῶν ἀρχῶν οἷον, γυναικονομία καὶ παιδονομία. τοῖς γὰρ